(2) b16630890 →

# ELEGIA
# ΕΓΚΩΜΙΑΣΤΙΚΗ
## IN CLARISSIMAM ET PRAESTANTISSIMAM BELGARVM VRBEM HANDOVERPIAM GEORGII SCHROEGELII BOII.




ANTVERPIAE,
Ex officina Christophori Plantini,
ANNO M. D. LXV.

# ELEGIA
# ΕΓΚΩΜΙΑΣΤΙΚΗ
# IN CLARISSIMAM ET PRAESTANTISSIMAM BELGARVM VRBEM HANDOVERPIAM GEORGII SCHROEGELII BOII.




ANTVERPIAE,
Ex officina Christophori Plantini,
ANNO M. D. LXV.

# CANDIDO LECTORI.

QVOD in deſcribendis vrbibus vel maximè agi ſolet vt de antiquitate earundem primò inquiratur, id nobis etiam faciendum duximus. Cùm enim hæc conſideratio lucem rebus plurimis afferat, tum etiam dignitatem quandam & reuerentiam Vrbibus merito conciliat, cùm veterum ſcriptis & ante acti temporis memoria cõmendantur. Etſi autem Antuerpia in maximam hodie excreuerit amplitudinem & maieſtatem, ita vt iudicare liceat anteà ad tantum ſplendorem non perueniſſe, fuiſſe tamen Vrbem nobilem, & ex eius nobiliſſimis præfectis & incendio eiuſdem per Normannos facto conijcere licet. De his autem apud Ioannem Auentinum omnis antiquitatis in primis Germanicæ peritiſſimum quædã narrantur. Scribit is Vtilonem Boium, Regulum Boiariæ patrię meę, quod Cochelaricum Danorum Regem inferioris Germaniæ oram Gallicam inuadentẽ egregia virtute repuliſſet: à Theodorico primo Francorum Rege littoris Antorfenſis Præfectũ ſeu Satrapam, quem nunc Margrauionem vocant, conſtitutum fuiſſe. Incidit autem Vtilonis hæc victoria & pręfectura in annũ ſalutis reparatæ 511. Ab hoc Vtilone familiam Caroli Magni Auentinus cum alijs multis deducit. Commemorat idem Angiſum filium diui Arionulphi Epiſcopi Mediomatricum inter præfectos limitis Antorfenſis. Normannos verò Antuerpiam incẽdiſſe teſtatur lib. 4. quod in tẽpora Ludouici primi incidit, in annum 837. Idem verò eſſe Antorff, cum eo quod Belgæ dicunt Antvverpen, cùm ſic ſuperiores Germani pronuncient, non eſt quod quiſquam ambigat. Et hæc quidem cùm humaniſſ. vir Abrahamus Ortelius antiquitatis doctiſſimus oſtendiſſet, tecum humaniſſ. lector communicanda duximus. Quis verò ſtatus Antuerpiæ ante Vtilonis tempora fuerit, nuſquàm reperire potui. Cęterùm cùm omnium gentium primordia fabulis inuoluta fuerint, hanc Brabonis fabulam aliquid antiqui referre veriſimile eſt. Et hæc quidem de antiquitate Antuerpiæ, quæ ne quid huic deſcriptioni deeſſe videretur, annotanda putaui.

# AVGVSTO SENATVI CLARISSIMAE ET NOBILISS. BELGARVM VRBIS HANDOVERPIAE PERPETVAM FELICITATEM.

*QVi modò per vestros erro (Sacerdo) penates,*
*A patriæ venio finibus ipse meæ:*
*Pinguia quà veteres coluerunt iugera Boij,*
*Jugera montanis proxima Pannonijs:*
*Alma Ceres cultos quà vestit frugibus agros,*
*Voluitur & tumidis Rheticus Oenus aquis.*
*Este salutati claram qui redditis vrbem,*
*Handouerpæos incolitisque lares.*
*Cernere Belgarum felicia rura priorum*
*Mens fuit & vestro mœnia structa solo:*
*Mœnia Troianos superant quæ robore muros,*
*Siue tuos Byzas, Romule siue tuos.*
*Mouerat ingenium vastum cantata per orbem*
*Aurea quæ nomen terra Brabonis habet.*

Illa suis etenim dum ditat mercibus orbem,
Nescio queis non sit concelebrata locis.
Illa viget claro, qua Phœbus surgit, Olympo:
Et sua qua vitreïs lumina mergit aquis.
Quaque ferus Boreas septem pulsare triones
Creditur, & densis qua madet Auster aquis.
Ast neque me merces coëmendi prona cupido
Huc tulit: Aönias sector auarus opes:
Nec graue quò tristi mutarem tempore cælum
Causa fuit: patriam limpidus aër habet:
Sed pia cura fuit semotas visere terras,
Ruraq; spectatis concelebrata viris.
Felix cui licuit laudatos cernere mores,
Cumque peregrinis gentibus ore loqui.
Et varios hominum multorum discere ritus:
Quas habeant leges, qualia iura colant.
Huic viget ingenium, venit huic prudentia, rerum
Huic quoque multarum doctior vsus adest.
Quos iuuat in foribus semper latuisse paternis
Crediderim pigros impiger esse viros.
Sit mihi mens alias studiosè inuisere gentes,
Atque animum cunctis expolijsse modis.
Quid precor aßiduus patriæ conspectus inerti

Prode-

*Proderit, & semper delituisse domi?*
*Dij melius, non sic diuini Musa Platonis*
*Censuit, aut Samij mens generosa senis.*
*Ille pio studio flagrans & laudis amore,*
*Et Pharon accessit Trinacriumque solum.*
*Hic sacra fatidicæ cuperet cùm cernere Memphis,*
*Volueret & leges docte Lycurge tuas:*
*Rura per Ægypti pingui circumdata Nilo,*
*Regnáque per Cretæ cærula fecit iter.*
*Scilicet extremos volat vt mercator ad Indos,*
*Pauperis vt fugiat nomen, opesq; paret:*
*Sic patriam iuuenis finesque relinquit amatos,*
*Crescat vt ingenij nobile mentis opus.*
*Vt cùm fortè domum fuerit reuocatus amicam:*
*Vtiliter patriæ consuluisse queat.*
*His ego commotus; laudatos cernere Belgas,*
*Et procul à patria cedere iussit amor.*
*Dumque tuos video fines auguste Senatus,*
*Iam reficit sextam menstrua luna rotam.*
*Interea quæ non visu dignissima vidi?*
*Non mihi tam longas est dolor isse vias.*
*Tædia tantarum compensant multa viarum*
*Commoda, quæ vestris capta fuere locis.*

*Sed veluti Cous non tantum vidit Apelles*
*Os roseum Paphiæ pulchráq; membra Deæ:*
*Verum etiam pulchris viuisque coloribus, eius*
*Pinxisse artifici dicitur ora manu:*
*Sic quoque conspectis Belgarum moribus, illos*
*Non potui numeris non celebrare meis.*
*Protinus in tantas se cœpit soluere laudes*
*Musa vocans Graias in sua vota Deas.*
*Ergo dum reliqui votis ardentibus optant*
*Annus vt aduenien hic tibi faustus eat:*
*Gratáq; dat lætam testantia munera mentem*
*Tuta patrocinio ciuica turba tuo:*
*Ipse etiam (placeat precor hæc tibi nostra voluntas.)*
*Offero Pierias, summe Senatus, opes.*
*His licet exiguis elegis describitur ingens*
*Et decus, & vestri candida fama soli.*
*Quicquid id est capias placida peto fronte, bonique*
*Consule non æquis carmina scripta modis:*
*Et sacra Pieridum sectantes numina Vates*
*Quæso tuo dignos esse fauore velis.*
*Sic tibi de lauri connectent fronde corollas,*
*Vestraque victuro carmine gesta vehent.*
*Alma cohors vatum iusto nudata fauore,*

*Auxilium*

*Auxilium vestras expetit ante fores.*
*His precor ingrato præstetis tempore gratum*
*Auxilium. fœlix sic nouus annus eat.*
*Sic tua qui radit spumosus iugera Scaldis*
*Nauigeris nunquàm destituatur aquis:*
*Sic tua prospiciens placato mœnia vultu*
*Juppiter æthereà te pietate tegat.*

Vestræ Magnif.
obseruantiss.
Georgius Schrœgelius Boius.

## In Elegiam Handouerpianam Georgij Schrœgelij Boij.

*Docta tuas laudes facundi musa Graphæi*
*Ante dedit Latijs vrbs generosa notis:*
*Nunc tibi Schrogelij laudes decantat easdem*
*Pieris, imparibus vecta Pelasga rotis.*
*Scilicet Aonio celebrandis carmine diuis,*
*Laudibus & meritis nata Thalia fuit.*
*Dummodo tu facias dignum Respublica laude,*
*Pierij deerit non tibi turba chori.*

DANIEL ROGERIVS.

# ΕΙΣ ΤΗΝ ΜΕΓΑΛΟΠΡΕΠΕΣΤΑΤΗΝ, ΚΑΙ ΠΑΝΤΩΝ ΤΩΝ ΒΕΛΓΩΝ ΛΑΜΠΡΟΤΑΤΗΝ ΠΟΛΙΝ ΤΗΝ ΑΝΔΩΒΕΡΠΑΙΑΝ ΥΜΝΟΣ.

Εὔχομαι ἀρχόμενος πρῶτον μούσῃσιν ἁπάσαις,
Ἐλθέμεν εἰς στήθη ἐξ Ἑλικῶνος ἐμοῦ·
Οὔτινος ἡδυεπεῖς γὰρ ἐνὶ στήθεσι ναίουσι
Μοῦσαι, ὀρθῶσιν χείλεα καὶ σκολιά,
Τούτου ἀπὸ γλυκείας γλώττης ῥα μελίφρονος αὐδὴ,
Ἐκβλύζει λιγέως νέκταρος ἡδυτέρα.
Χαίρετε οὖν μοῦσαι Διὸς αἰγιόχοιο θύγατρες,
Δεῦτε καὶ ἱμερόεν νῦν με διδάξατ᾽ ἔπος.
Ὅττι μάλα σπεύδω δι᾽ ἀθεσφάτου ὕμνου ἀείδειν,
Τὴν πόλιν ἣ πασῶν νῦν κρατέει πόλεων.
Ἀλλὰ πόθεν κλείειν σευ κύδη ἄρξομαι ἄστυ;
Δεῖ διὰ τῶν μερέων σοῦ κλέα εἰπέμεναι.
Ὀφθαλμοὺς πρότερον κινέει ἐξώτερα πάντα,
Τοὔνεκα ὑμνήσω ἔξω ἅπαντα πρόσω.
Τείχη, τοὺς μώλους, τάφρους, καὶ καρτερὰ ἕρκη,
Σκάλδιν ἅμ᾽ ἄλλοισιν κάλλεσι θαυμασίοις.
Εἶτα δὲ τὰ πτόλεως ἔνδον κοσμήματ᾽ ἀείσω,
Νηοὺς τῶν μακάρων ἀγλαὰ δῶρα θεῶν.
Οἶκον σμερδάλεον τὸ θέατρον, ἰδ᾽ ἄλλα πολιτῶν
Δώματα ἀφνειῶν, καὶ νεότητα καλήν.
Ἄσπετα ἐμπορίου καὶ κύδη τοῦ ὄχ᾽ ἀρίστου,
Καὶ βουλὴν πόλεως τὸ σκέπας, ἠδὲ σέλας.

Τοὔνεκα νῦν μοῦσαι τὸ δέ μοι κρηήνατ᾽ ἐέλδωρ,
Ὄφρα καλῶς ὑμνῶ τὴν πόλιν ἀμβροσίην:
Ἡ ὡς πορφύρεον ῥόδον ἤματα φύει ἅπαντα,
Ἐν τοῖς ἱμερτοῖς ἄνθεσιν εἰαρινοῖς:
Ἡ πασῶν πόλεων περίεστιν ὑπ᾽ οὐρανῷ ἄλλων,
Λαμπρὴ ὡς ἄστρων ἠλίου ἀγλαΐη.
Ναὶ μὰ τοίην οὔπω πόλιν εἶδον, μηδ᾽ ἂν ἴδωμαι,
Οἵη Ἀνδβέρπη φερτάτη ἐστὶ πόλις·
Ἠὲ ἴδῃς Λιβύην, Εὐρώπην, ἠὲ Ἀσίην,
Οὔ, τινα εὑρήσεις οὔποτε τῇδ᾽ ἰκέλην.
Ἀνδβέρπη ἡ οὔνομ᾽ ἔχει παρὰ αἰνοτυράννου,
Τοὔνομα ἐξ ἔργων ὅστις ἔδωκε πόλει.
Τῶν γὰρ ἁλισκομένων ἐν Σκάλδῃ ἔνθα πλεόντων,
Χεῖρας τετμηκὼς, Σκάλδιν ἔσω ἔβαλε.
Ἐκ τοῦ βεβλῆσθαι τὰς χεῖρας γοῦν ὀνομάσθη
Ἀνδωβερπαία εὐρυάνασσα πόλις·
Οὗτος ἐὼν κρατερὸς δὲ γίγας ὁ Βράβων ἐκαλεῖτο,
Ἠδὲ Βραβαντίην χωρία ταῦτ᾽ ἐκάλει·
Ἐν τῇ ἄνευ ἔριδος δ᾽ Ἀνδβέρπη πρωτεῖα ἴσχει,
Βελγίου ἠδὲ ὅλου μητρόπολις τελέθει.
Πρῶτον ἐπ᾽ αὐτῇ μὲν πτύσαν, καὶ ἡδὺ γέλασσαν
Σχέτλιοι, οὐτιδανοὶ, δύσμορα φῦλα, βροτοί.
Ἡ γὰρ πᾶσιν ἐλεγχίστη μερόπεσσι βροτοῖσιν,
Ὅττι μάλα σμικρὴ, ἠὲ ταπεινὴ ἔην.
Νῦν δὲ ὁ ἀθάνατος τὰ ὑπέρτατα δώματα ναίων,
Πασῶν τῶν πόλεων τῖσε μάλιστα θεός.
Ὡς μεγάλη ὀλίγων ἐτέων, ὡς θαῦμα λέγεσθαι,
Εἴκοσιν ηὐξήθη οἴμ᾽ ἐπιτελλομένων.
Πάντοθι κυκλόσ᾽ ἔχει ἀδαμάντιν᾽ ἀρήϊα τείχη,
Τὰ κρύπτοντα ὅλην τὴν πόλιν εὐρυτάτην.

Τείχη

Τείχη μακροτάτοις καὶ ἐπίδρομα ἅρμασι πᾶσιν,
  Αντιβίοις τ' ἐχθροῖς δυσπολέμητα ἀεί.
Μώλους ἀδμήτους, ἄζομαι μυσηρὶ Αρει-ος,
  Τερπωλὴν ἑτάρων δεῖμα καὶ ἀντιπάλων.
Τάφρους αἰπεινοὺς ἑκατὸν πόδας ἠδέ τι πλεῖον,
  Καὶ πλατέας τόσσους πλείονας ἠδὲ πόδας.
Χώματα ἀστεμφῆ, καὶ ἀνέμβατα, ἀστυφέλικτα,
  Ερκεα παμμεγέθη, ἕρκεα ἀσύοχα.
Ως ὑψιβρεμέτης θεὸς ἣν πόλιν ἐσθλὰ ἔοργε
  Μυρί', ἐπεὶ λίην μιν περὶ κῆρι φιλεῖ.
Τὸ πρὶν σμικρότατον παρὰ τὴν πόλιν ἔρρεε ὕδωρ,
  Εὔπορον ἠδὲ βροτοῖς πᾶσι βαδιζομένοις·
Νῦν δὲ ἄλαινος ἀμετροβαθὺς τοῦτ' ἄστυ παραρρεῖ,
  Εὐρέος ὠκεανοῦ μηδὲν ἀτιμότερος.
Σκάλδις κυδίστης Σαμοβρίνης ἄγχι φλεβάζων,
  Σκάλδις ὃς ἀνθρώπων μυρία φῦλα βρέχει.
Οντιν' ἀναγκάζει ἡ ἠχήεσσα θάλασσα,
  Τὴν ὁδὸν ἐλθέμεναι, ἠδὲ παλινδρομέειν,
Τῆς πελαγιζούσης πλεονάζει ὦκα καὶ αὐτὸς,
  Αψ ἀπονοστούσης κ' αὐτὸς ὄπισθε τρέχει.
Αὕτη τοῦ πόντου θυγάτηρ, καὶ ἀλλ' ἰλυώδη,
  Τῆθυ' ἀμύνουσιν τοὺς ὑβριάς γε βροτούς.
Εν τούτῳ ποταμῷ τὰ παρηγόρα ποίκιλά εἰσιν
  Παίγνια, ἃ πλείστην τέρψιν ἔχουσι τέὶν.
Νύμφαι καλλίκομοι παίζουσι τὰ ἤματα πάντα,
  Νηϊάδες πᾶσαι, ἠδὲ Λυμωνιάδες.
Εἰ γὰρ λεύσσουσιν λαμπρὸν φάος ἠελίοιο,
  Ιλαδὸν ἥκουσιν Σκάλδιδος ἐκ πολιοῦ.
Λεπτοῖς πλοιαρίοις ἐν κύκλῳ ἔνθα πλέουσιν,
  Ασμα ἀείδουσαι λειριόεσσῃ ὀπί.

Εἶτα πάλιν βαίνουσι μελαινάων ἀπὸ νηῶν,
Εἰς φαιδρὸν Σκάλδιν νάματα τερπνότατα.
Σώματα λουσάμεναι διὰ ὕδατος εὐθὺ νέουσιν,
Ὡδὶ πανημέριαι ὃν φρένα τερπόμεναι.
Ἐνθάδε ἐκπλεῦσαι σὺν νηυσὶν ποντοπόροισι,
Τοὺς ναύτας βλέψεις παντοδαπῆς τραφερῆς.
Τοὺς παρ᾽ Ἰβηρίης, τοὺς ὠμοφάγων ἀπὸ Ἰνδῶν,
Τοὺς παρ᾽ Ἰουδαίας, τοὺς δὲ ἀφ᾽ Ἑσπερίης.
Οἵγ᾽ ὅτε μὴ πόῤῥω ξιποθήτου θινὸς ἄπεισιν,
Πᾶς τρομέει τραφερὴ, καὶ πόλος ὑψίπυλος.
Οἱ μὲν σάλπιγξι κλάγγουσι καὶ οἵδ᾽ ἀφιεῖσιν,
Ἐκ χαλκοῦ βαλάνους τειχεσιπλήττῃ ἀθρῶς.
Κλαγγὴ εὐρεῖαν πόλιν; αὐδὴ οὐρανὸν ἥκει,
Καὶ τῶν κλαγγόντων, τῶν δὲ βοησαμένων.
Ξεῖνος ἐὼν ὑπὸ ἀντιπάλων μέγαν ὅρκον ὀμόσσαι,
Ἐξαλαπαχθῆναι αὐτίκα τήν δε πόλιν.
Ἠ Δία τερπικέραυνον ἐὸν μάλα χωόμενον κῆρ
Ἀστεροπαῖς, βρονταῖς πάντα μιγαζέμεναι.
Τούτων γιγνομένων οἱ μὲν στάντες παρὰ πρύμναις,
Μὴ ναῦς κήδονται ὁρμᾷ ἐς αἰγίαλον.
Οἱ δὲ πελάζουσιν μάλα ὦκ᾽ ὀγκώδεα ἀμφὶ,
Μακρᾷ ἰσοδόκῃ ἱστία λευκότατα:
Οἱ δὲ πάλιν νῆας κενεὰς εἰς λαῖτμ᾽ ἐρύουσιν,
Σκάλδιδος εἴκοντες νηῦσιν ἐφιξομένῃς.
Νῆας ἐϋσσέλμους, εὐπρύμνους, μιλτοπαρήους,
Οἴκων καὶ πύργων οὔ, τίγε μικροτέρας.
Ἐνθένδεν δὲ περαιτέρω εἰ παρὰ θῖνα ὁδεύων,
Πλείονα καὶ ποθέεις θαύματα εἰσοράειν,
Οὐ πόῤῥω στιχόων καλῶς φύουσαν ἀθρήσεις,
Ἄλλην Ανδβέρπην, ἔξοχον, ὁπλοτέραν.

Ἐνθάδε

Ενθάδε θαμβήσεις πόλιν ὡς μεγάλην γεγενῆσθαι,
Τὴν πρότερον στυγερὴ χῶρον ἔχουσαν ἰδεῖν.
Ενθ' ἄλλοι ῥοθίοις ἐν μέσσοις ὦκα τίθεισιν,
Ακλινέας μώλους, ἠδὲ προκυμάτια.
Αλλοι μαρμαρέοις κρατεροὺς πλάσσουσι λίθοισι,
Τοίχους αἰθερίων ἁπτομένους νεφελῶν.
Αλλοι ὀρύσσουσιν τὰ θεμείλι' ἀγαθεινῆ οἴκων,
Ηὲ κυλίνδουσιν λᾶας, ἰδ' ἠμαθίην.
Αλλοι σπεύδουσιν τελειῶσαι ἡμιτέλεστα,
Δαιδάλῳ ἠδὲ στέγην οἴκῳ ὑπερκρεμάσαι.
Η ὕτε πολλάων φοιτῶσιν φῦλα μελισσῶν,
Ανθεσ' ἐφ' ὡραίοις ἀζαλέου θέρεος.
Ο τραλέως τε ἐφημέριαι πονέουσι κράτιστα,
Πᾶσαι ἐν ἀλλήλαις φορτία αἰρόμεναι:
Λαοὶ ὡς οὗτοι σπουδῇ κάμνουσιν ἑκόντες,
Τῶν σκληρῶν μόχθων ἀντιμεριζόμενοι.
Κτίσματα θάλλουσιν καὶ οὐρανὸν αὐδὴ ἱκάνει,
Τῶντε κελευόντων τῶν τε πονησαμένων.
Εὑρεῖ ἐιν ἄστει ἔνθεν καὶ ἔνθεν ἐσόψει,
Τῷ ξανθῷ χρυσῷ κτίσματα λαμπόμενα.
Ακροπόλεις ἔνθα κρατερὰς, καὶ ἐκεῖ χαρίεντας
Νηοὺς οὓς φήσεις οἷς μακάρεσσι πρέπειν.
Νηοὺς ἣν κεφαλὴν κρύπτοντας ὑπ' αἰθέρι δίῳ,
Ζηνὶ ἀπειλοῦντας, τήνου ἰδ' ἀθανάτοις.
Πολλοῖς ὀλβίστους νηοὺς δώροισιν ἀνάκτων,
Καλλίονας φαίδρου Αρτέμιδος τεμένους.
Εν τοῖς φοιτώσας ἅμ' ἑταίροις πολλάκι στρεφθεὶς,
Ολβια θαύμαζον δῶρα θεησάμενος.
Θαύμαζον βωμοὺς ἑκατὸν θυόεντας εὐόσμοις,
Ατμοῖς τοῦ λιβάνου, ἠδὲ νέων στεφάνων,

Αἰνῶς ἠγάθην περικαλλέα ἄλλά τε δῶρα,
  Φαινόμενα χρυσῷ ἄλλοθεν εἰσρόων.
Λύγδινα τῇ καὶ τῇ μνημήια ἔμπνοα στάντα,
  Μνημόσυνα θνητῶν μνημόσυν᾽ ἀθανάτων.
Ἄλλά τε πάντα ἃ μὴ μέμνημαι, μηδὲ δυναίμην
  Εἰπέμεν ἐν τούτῳ παυριδίῳ γε χρόνῳ.
Ἐν μέσσῃ ἀγορᾷ τὸ πολιτικὸν οἰκοδόμημα,
  Φύει χρυσοφαὲς, θαμβάλεον μέγεθος
Ὅτ,τι ὑπερτέλλει οἴκων πανυπείροχον ἄλλων,
  Θάμβος καὶ παρέχει πᾶσι βροτοῖσι μέγα.
Τοῦ μῆκος μὲν ἀπειρέσιον, πλάτος ἄπλετόν ἐστι,
  Τοῦ δὲ κάρηνα ξέχει οὐρανὸν αἰπύτατον.
Ἧϋτ᾽ ἐν ἀκροτάτῳ τῷ οὔρει πῦρ ἀΐδηλον
  Καίεται, οὗ αὐγὴ λάμπει ἐπ᾽ ἄστρα πόλου:
Ὡς αἴγλη φαιδροῦ διὰ αἰθέρος εὐρὺν ὄλυμπον
  Ἥκει χρυσαυγοῦς παμφανόωσα δόμου.
Χιονέοις λάεσσιν ἀπὸ πρώτοιο θεμέθλου,
  Εἰς τοὺς ὑψιφαεῖς τύχθη ἔσω ὀρόφους.
Ἔργοις κυδαλίμοις καλῶς πεπυκασμένον ἐστί,
  Νώροπι τῷ χρυσῷ, ἀργύρῳ εὐδοκίμῳ.
Τὰ προπύλαια δόμου καὶ ἄλλαι στῆλαι ἅπασαι,
  Πνείουσιν παρίους, μαρμαρίνους τε λίθους.
Μορφαὶ ἁβρόταται Ἡρώων θυμολεόντων,
  Ἡρωΐδων ἁγίων πάγκαλα καὶ ξόανα:
Χρυσείοισι χαριθέντα γραφίδεσιν ἐναργῶς,
  Ἀγλαῷ ἠελίῳ λαμπετόωσιν ἴσον.
Ναὶ ἄγχιστα ἰόντε σαφέστατ᾽ ἰδόντε δοκήσεις,
  Ἔμπνοα δέρκεσθαι ὥσπερ ἐόντα ζωά.
Χεῖρας Πραξιτέλου φήσεις ἔμεν ἢ Πολυκλείτου,
  Σχήμασιν εὐρύθμως πνεῦμα χαριζομένοιν.

Ἐν

Ἐν τοῖς ὁ Βράβων πομπεύει ὑπέρτατος ἄλλων,
Χερσὶν ξὺν σφετέροις χαλκῷ ἐνιστάμενος.
Ἐν τῇ δεξιτερᾷ ἐν δαιδάλῳ εἰκόνι νηλής
Ἵσταται ἥδε Δίκη ἐκγεγαυῖα Διός.
Ἔκδικον εἰν ἄλλῃ χειρὶ ξίφος ἶφι ἔχουσα,
Εἰν ἄλλῃ ζυτάνην πᾶσι νέμουσαν ἴσα.
Ἐν τῇ ἀριστερᾷ ἡσυχίῃ δ' Ὁμόνοια κάθηται,
Ἀμφω ἔχουσα σοφῶς χεῖρε ὁμοπλέκεε.
Ἀλλ' οὐ τινάλλως τὰς μορφὰς οἱ δὲ ἔγραψαν
Βουλευταὶ ζάθεοι, αἴτιον ἀλλὰ τόδε.
Ὀρθῶς μέμνηνται χείρεσσι, Δίκῃ, Ὁμονοίᾳ,
Πάντας σώζεσθαι τὰς μάκαρας πόλιας.
Τοὔνεκα τῆς πόλεως τάδε σύμβολα θεῖα ἕλοντο,
Σύμβολα τοιαύτης ἄξια τῆς πόλεως.
Σύμβολα δημοβόροις ἐχθροῖς μέγα δεῖμα φέροντας,
Ἀγγέλοντα φίλοις χάρμα ἄληκτον ἑοῖς.
Σύμβολα ὧν διὰ ἡσυχίῃ καὶ ἀένναος ἔσται,
Ἀνδωβερπαία τειχιόεσσα πόλις.
Ὅττι ὅπου δύναμίς τε, Δίκη θ' Ὁμόνοιά τε εἰσίν,
Αἰὲν τοιαύτη παμμάκαρ ἐστὶ πόλις.
Ταύτῃ οὐ πόλεμον τεκμαίρεται εὐρυόπα Ζεύς,
Ταύτης καὶ ἀπέχει ὁ βροτολοιγὸς Ἄρης.
Ναὶ πόλι εὔποτμος καὶ πάντῃ ὀλβίη ἐσσὶ,
Εἵνεκα τοιούτων εὐσεβέων ἀνέρων.
Οἵτινες οὔ σε φυλάττουσιν μόνον, ἀλλὰ καὶ ἄλλα
Κάλλη ἐγείρουσιν φαίδιμα καὶ ζάθεα.
Οἶκον σμερδάλεον, πολύχρυσον, σύμβολα λαμπρά,
Σύμβολα τῆς φύσεως ἄξια θειοτάτης.
Ναὶ ὅτε εἰσενόησα δόμον τόνδ' ἐγγύθεν ἐλθών,
Θυμῷ ἐκπληχθεὶς θαύμασα ὡδὶ λέγων.

Ὦ τίς

Ω τίς ὁ τεχνίτης, τίς πλάστης, τίς δὲ ὁ γλύπτης,
Ὅστις θαυμάσιον τοῦτο ἔρεξε πέλωρ;
Οὔ, τις ἐπιχθονίων τοῦτ' ἔργον φημὶ ἔτευξε,
Ἀνθρώπων ἐπεὶ παμμάκαρ ἐστὶν ὅλως.
Οὐ κλυτὸς Αἰθέριος τέκτων τὸ πελώριον ἔργον
Δείματο καὶ πλάσσεν χερσὶν ἑαῖς ἀπαλαῖς.
Χερσὶ γιγαντείῃσι σιδηρείῃς τε τέτυκται,
Ἰσχύος οὐκ ἔστιν τοῦτο ἐπεὶ βροτέης.
Χαῖρέ μοι οἰκοδομὴ μοιρηγενὲς, ὀλβιόδαιμον,
Ναὶ τὺ ἀμετρήτου κόσμου ἄνασσα πέλεις.
Εἰ Ζεὺς μητιέτης μακροῦ ἔλθοι ἀπ' ὀλύμπου,
Ἐνθάδε καὶ ἄλλον φαιδρὸν ὄλυμπον ἔχοι.
Ἡμέτεροι πρόγονοι ἐκπάγλως θαύμασαν ἱρὴν
Τὴν Βαβυλῶνα πρώην πάμπαν ὑπερφίαλον.
Ταύτῃ ἐν ὀφθαλμοῖς τὴν ὀλλυμένην Βαβυλῶνα,
Ὡς σμικρὸν κόσμον δέρκομαι ἐν πόλει.
Κυκλώπων τε πόνον, μεγαλοκρατῆ ἔνθα Μυκήνην,
Τῶντ' αἰπεινάων Πυραμίδων κάματον.
Ἢ δὲ τὸ θεσπέσιον κλυτοτέχνου Δαιδάλου ἔργον,
Τὸν Λαβύρινθον ἁβρὸν πλαίσματ' ἔχοντ' ἑκατόν.
Οὐκ εἶδον τοῖόν τε τόσον τε πελώριον ἔργον,
Οὔπω καὶ κάλλος φέρτερον οἶδα ἐγώ.
Πρὸς τὸ πρῶτα δόμου τὰ θεμείλια καρτερὰ θέσθαι,
Κροίσου ἠδὲ Μίδου χρήματα οὐχ ἱκανά.
Ὄβριμοι Ἥρωες, βουληφόροι ἄνδρες ἄριστοι,
Ἀνδωβερπαῖοι ὄλβιοι ἐστὲ βροτοί.
Ὑμέτερον κῦδος μεῖζον καὶ κάλλιον ἔστω,
Πᾶσιν ἐν ἀνθρώποις, καὶ μακάρεσσι θεοῖς:
Τοῦ διὰ θαυμαστοῦ, καὶ τοῦ νεοπηγέος οἴκου,
Τοῦ νικῶντος ὅλης θαύματα πάντα γῆς.

Κοίρανοι

Κοίρανοι ὑμετέραν ἀρετὴν καὶ θέσκελα ἔργα,
  Ασεται ὁ ξύμπας ἤματα πάντα χρόνος.
Δὶς δὲ σὺ τρίς τε μάκαρ τελέθεις πολύολβιε οἶκε,
  Εἵνεκα Ηρώων τοσσατίων τ' ἀνέρων.
Ειρυδανὸς τοῖς Αυσονίοις, ὁ Ιβηρ τε Ιβηρσι,
  Αλβὶς καὶ Ρῆνος Τεύτοσι πινόμενος:
Ουποτε λήξουσιν φθέγξασθαι, ἠδὲ κυρῆξαι
  Εὐφημήσαντες τὰ κλεά σου ἄγια.
Ενθεν ἰὼν περινοστήσας πόλιν εὐρυάγυιαν,
  Δώματ' ἐφευρήσεις μηδὲν ἀτιμότερα.
Οἴκους εὐπύργους, βασιλήϊα λαμπρὰ μέλαθρα,
  Κοσμηθέντα καλῶς λάεσι μαρμαρίνοις.
Δώματ' ὀπιπτεύσεις στιβαρῇ λαοσσόα τείχη
  Κύκλῳ κυκλῶσαι, ἠδὲ φυλαττέμεναι.
Εν μεγάροις κήπους Διονύσῳ τηλεθόωντας,
  Νύμφαις ἠϋκόμοις δενδριτίδεσσι κόραις.
Ενθάδε ἐνναέται φοιτῶσιν ἐπ' ἄνθεσι χλωροῖς,
  Πασῶν παυσάμενοι θυμοδακῶν μελετῶν.
Ηδύ τε παίζουσιν κατὰ ἄνθη εὔοδμα πεσόντες,
  Ηὲ ὑπαὶ δένδρῳ εὐσκίῳ ἑζόμενοι.
Ασμα λιγυφθόγγους ἀΐουσιν ἀηδόνας ᾄδειν,
  Ηδὺ ἀμειβομένας τῇ μελιγήρυ ὀπί.
Ψιττακὸν ὠκυδίδακτον ἔχουσιν χειρὶ συνήθη,
  Ινδῶν ἠώων ὄρνιν ἀπερχόμενον.
Τὸν λάλον ὄντα διδάσκουσιν μιμεῖσθαι αὐτὴν,
  Τὴν ἀνθρωπείην ἐν στόμασιν λιγυροῖς.
Ναὶ ὅτε εἰσεῖδον πρηκτήρων πολυταλάντων
  Λαμπρὰς ἀκροπόλεις, θαύμασα ταῦτα λέγων.
Εἴκετε ἁβροτέροις βασιλήων λαμπρὰ μέλαθρα,
  Αρχαίων πάντων εἴκετε ἁβροτέροις.

C Εἴξατω

Εἴξατω ἁβροτέροις βεβοημένε πᾶσαν ἐπ᾽ αἶαν
 Α κρόπολι Πριάμε Πέργαμε εὐσεβέως.
Εἶξον χρυσοφαὲς καπετώλιον δῖα ἄνασσα
 Α ρχῆς Ρωμυλέης πρόσθεν ἀειδομένη.
Κ ρύπτε τεὴν ὦ λαμπρότατον τῆς Ελλάδος ἄστρον,
 Γ αυρέα τὴν κεφαλὴν Σισυφὶς ἀκρόπολι.
Κ ρύπτε τὺ τῦ Κροίσυ ἀφνειοτάτοιο τῦ ἀνδρὸς
 Α ὐχένα αὐχάλεον δῶμα φαεινότατον.
Κ ρύπτε Κολοσσὲ ταχέως ὕψιστα κάρηνα θέοντα,
 Α στρων ἁβροτάτων ἀγχόθι Συμπλειάδων.
Κ ρύπτε τεὺς ὀρόφυς Κολοφῶν ἐις αἰθέρ᾽ ἰόντας,
 Ω φαιδρὸν ζαφερῆς φέγγος ἰϊονίης.
Οὐ γὰρ ἀφαυροτέρυς πρὸς ἀρείονας ἀντιφερίζειν
 Χρὴ, ἐπειὴ τύτυ αἴσχιον οὔ,τι πέλει.
Εν μέσσῳ ἄστει παπταίνων ἔνθα καὶ ἔνθα,
 Α ττινα τοῖς ξείνοις θαῦμα φέρυσι βροτοῖς:
(Ω ς φιλεῖ ἀλφησαὶ γὰρ ἐν ἄστει ξεῖνοι ἐόντες,
 Π άντοθι ἐν κύκλῳ ἐισορόωσι πόλιν.)
Σύμβαν δερκόμενος τανύπεπλον ἐυανθέα ἥβην,
 Ταῦτ᾽ ἐνεθυμέμην ἐν φρεσὶ γηθόσυνος.
Η γάσατο πρότερος θηλύφρονα καιρὸς Αχαιῶν,
 Τ ὴν ἐυκνημίδων κόσμιον ἡλικίην.
Η μεῖς ἡμετέροιο χρόνυ ἀγασώμεθα κάλλος,
 Η βην ἐυειδῆ ἠδὲ καὶ ἡλικίην.
Οὐδὲ γὰρ Ιναχίδων κύρων χειρειόνες ἐισιν,
 Ε ργα αἱ ἡμέτεραι, οὐ δέμας, οὔ τι φυήν.
Τ ὴν μοιχευσαμένην Ελένην αἰνεῖτε Πελασγοί,
 Κ εῖραν τῆς ἰδίης ὑμετέρας πατρίδος.
Η μεῖς ἡμετέραν λιγέως ἑλικώπιδα ἥβην,
 Σώφρονα καὶ ἁγνὴν αἰὲν ἀεισόμεθα.

Δεῦρο

Δεῦρο ἐς Ἀνδβέρπην φίλον εἴ τοι δαίεται ἦτορ,
Καλλογύναικα ἰδεῖν Ἑλλάδα δεῦρο ἴθι.
Ἔνθα Σεμιράμιας, καὶ Λεσβίδας εἶδος ἀρίστας,
Χρυσοκόμους λεύσεις Κύπριδος ἁβροτέρας:
Ὄμματα πορφυρέῳ ὑακίνθῳ ἐπήραθ' ὁμοίας,
Αἱματινοῖς μήλοις χείλεα καὶ δροσερά.
Λυγδινέας τούτων παρειὰς φοινίσσει ἔρυθρος,
Ὡς ἐρυθραίνονται τὰ κρίνα μικτὰ ῥόδοις.
Χεῖρες νικῶσιν γάλα, καὶ ἐλέφαντα τράχηλα,
Καὶ πόδες ἀργυρέης τὰ σφύρα τῆς Θέτιδος.
Εὐμήκεις, καὶ εὔζωνοι, καὶ εὐόφρυες εἰσίν,
Ἠδὲ φιλομμήδεις, εὔσφυροι, ἠΰκομοι.
Τῶν ἄλλων πάντων ῥεθέων ἁπαλῶν τε ὑπάρχει
Δῖα ἐρυθμίη, ἔνθεος ἁρμονίη.
Καλλικρήδεμνοι ἐν φαιδρᾷ ἁλουργίδι ἶσιν,
Ἄρτεμις ὥς πρώην ἤϊε πρὸς χορείας
Στήθεα μαρμαίροντα ἔχουσιν ἰάσπιδι, χρυσῷ,
Πολλοῖς καὶ ἄλλοις ἀστροβόλοισι καλοῖς.
Χεῖρας λαμπούσας σπατάλοις, καὶ καλὰ πνέοντας,
Τιμήεντι μύρῳ, θηΐῳ ἀμβροσίῳ.
Ἱστοὺς δαιδαλέης μνημήϊα χειρὸς ὑφαίνειν
Οἴδασι, καὶ ξαίνειν δίπλακα μαρμαρέην.
Εὖ καὶ ἐπισταμένως πολυδαίδαλον ἱστὸν ὑφαίνειν
Ἀργείη Ἑλένη καλλιπάρηος ἴδεν.
Ἀλλ' Ἑλένη δολίη πόλεμον πολύδακρυν Ἀχαιῶν,
Καὶ τὴν Δαρδανιδῶν τῷ ἐνέπασσε μόνον.
Κοῦραι ἡμέτεραι καλῶς ἴσασ' ἐνυφαίνειν
Δῶρά τε εἰρήνης, δῶρά τε ἡσυχίης.
Ἐκ λιγυρῶν στομάτων ὄπα ἱμερόεσσαν ἱεῖσιν,
Καὶ τοῦ ἡδυμελοῦς νέκταρος ἡδυτέραν.

Ἥτις ἂν εὐφραίνειν οὐ μοῦνον φῦλα δύνηται
Θνητῶν ἀνθρώπων, ἀλλὰ καὶ ἀθανάτων.
Παῦρα μὲν ἀλλὰ λιγέως μυθοῦνται, ἐπεὶ πολύμυθοι
Παρθένοι οὐκ εἰσὶν σώφρονες, εὐαγέες·
Αἱμυλίοις χρῶνται μύθοις ἀλλ' οἵτινές εἰσιν
Ἄξιοι αἰδοίων παρθενικῶν τε κόρων.
Γλῶτταν μὲν παιδώδη ἔχουσι, βίον δὲ ἄγουσι
Σεμνὸν καὶ ἁγνὸν, σώφρονα, καὶ καθαρόν.
Οὐκ ἀγορεύστω ἐπουρανίου ἔπι ἄξια ἄλλα
Ἤθη τοῦ στήθους, θεσπεσίας τ' ἀρετάς.
Δέρκεο εὐφροσύνη ὡς καλὰ πρόσωπα γεραίρῃ;
Ὡς ἄχαρις καὶ ἀπῇ τηλόθεν ἀγριότης;
Ὡς ἄμφω ἐν στήθεσφιν καὶ ἔχωσι πρεπόντως
Χεῖρε περιπλέγδην, μάρτυρε σωφροσύνης.
Εἰσὶ φιλάνθρωποι, τὴν τ' ὠνητὴν φιλότητα,
Τήν τε φιλοξενίην πᾶσι χαριζόμεναι.
Τοὔνεκα τῆσδ' ἀρετῆ πάσης πολύολβος ἐπ' αἴης,
Καὶ μάλ' ἐπ' Εὐρώπης πολλὸν ἀειδομένη.
Σιγῶ ἠϊθέους ἀταλάντους σῶμα, καὶ εἶδος
Καλῷ Ἀλεξάνδρῳ, Πριαμίδῃ Πάριδι.
Τοὺς μέροπας παρ' ἀπειρεσίης χθονὸς ἀνέρας ἄλλους,
Ἠδὲ ἀπερχομένους τεσσαπόρων ἀνέμων.
Τοὺς ἐν νηγατέῳ, ὁλοπορφύρῳ εἵματ' ἰόντας,
Σὺν ξίφεσιν χρυσέοις ἠδὲ καὶ ἀργυρέοις.
Ἄνδρας γὰρ πάντας τοῦ ἄστεος ἐξονομῆναι,
Οὔτινος τοῦτ' ἔστιν, μηδὲ ἐμῆς φύσεως.
Ἠΰτε κηδομένων μυρμήκων ἔθνεα πολλὰ
Ἰλαδὸν ἐξ οἴκων εἴσιν ὑποχθονίων:
Ὡ κύποδές θ' ἑρπίζουσιν κατὰ ἄσπετον ὕλην,
Καρποὺς ζητοῦσαι ὠφελίμους βιότῳ:

Ὡς

Ως τῶν ἔθνεα πολλὰ καλῶν ποτιδέρκεαι ἀνδρῶν,
    Εκ τοῦ ἀμετρήτου κόσμου ἐπερχόμενα.
Αλβίονας, Κελτοὺς, Ιταλοὺς, Ινδοὺς, ἰδ᾽ Ιβηρας,
    Γερμανοὺς, Τύρκους, Σαρματικούς τε βροτούς:
Βοτρυδὸν ποτὶ Ανδβέρπην εὐτείχεον ἄστυ,
    Καὶ μάλα τῶν ἄλλων ἔξοχα ἐμπόριον.
Μηδὲ καὶ ἀπαλάμνους, ὅσα πρὸς βίον ἐστὶν ἀνάγκη,
    Σπευδῇ ἐκ πάντων ζητέμεν ἐμποριῶν.
Εξ ὧν πλοῦτον ἔχουσι πολὺν, πουλὴν καὶ ἔπαινον
    Πᾶσιν ἐν ἀνθρώποις, μηδὲ φέρουσι φθόνον.
Εξ ἔργων γὰρ πλοῦτος ἔφυ, πλούτῳ τε ὅπηδεῖ
    Θεσπεσίη ἀρετὴ, καὶ κλέος ἀθάνατον.
Ουχὶ ἀλωόμενος ποθέω ξὺν δίῳ Οδυσσεῖ
    Εννέα ἢ δέκ᾽ ἔτη πλεῦσαι ἐν ὠκεανῷ.
Μήτε διὰ Σκύλλαν, τερατώδεα ἠὲ Καρύβδιν,
    Αλγεα καὶ θυμῷ τόσσα τοιαῦτα παθεῖν:
Εἵνεκα ἀλλοθρόων μερόπων τοῦ ἄστεα γνῶναι,
    Τὸν νοῦν ἠὲ ἔθη, ἤθεα, ἠὲ φυήν.
Νῦν γὰρ εἰσαθρέω ὀφθαλμοῖς εὐρὺν ἅπαντα
    Κόσμον, ὁμηγερέες τῇ μιᾷ ἐν πόλεϊ.
Ουποτ᾽ ἐγὼ τοῖον λαὸν καὶ τόσσον ὄπωπα:
    Τὸν πίστευε ἐμοὶ γαῖα μόλις γε φέρει.
Τόσσους τολμῴην εἰπεῖν, ὅσα φύλλα γε δένδρων,
    Πορφυρέου πόντου ἠὲ ὅσοι ψάμαθοι.
Οσσάκι βάζω ἐγὼ; ναὶ ἡμῶν δύσμορος αἶα,
    Ενθ᾽ ἀγαθὰ πτόλεως δῶμα ἕκαστον ἔχει.
Γλώττας ἀλλοξίας πάσας ἐνταῦθα ἀκούω:
    Παντοδαπῶν ὁρόω ἤθεα χρηστὰ βροτῶν.
Πάντων τεχνίτας ἔργων πολυΐστορας ἄνδρας,
    Τεχνίτας παλαιῶν κρείττονας εὐφυέων.



Ποικίλα

Ποικίλα ἔργα νέων, περικαλλέα ἔργα γερόντων,
Δαιδάλου εὐκλειέως χεῖρας ἑτοιμοτέρας.
Ω πόλι εὔδαιμον, καὶ μῆτερ πότνια Βελγῶν,
Ω τοῦ ὅλου κόσμου φέρτατον ἐμπόριον.
Ω περ μαρμάρεος, λίθος ἄλλων ἔξοχ' ἀρίστη,
Ανθραξ φωτίζει φέγγει πάντα ἑῷ:
Λαμπρὴ ὡς σὺ καταυγάζεις σῇ παμφαεῖ αἴγλῃ
Τῶν μαχίμων Βελγῶν ἄστεα ἀλλοδαπά.
Φαιδρότατον μούνη τῆς πάτρας ἄστρον ὑπάρχεις,
Καὶ τῆς Εὐρώπης ἡ βασίλισσα ὅλης.
Ηὔτ' ἐνὶ χλοεροῖς ἀμάραντοι τηλεθόωσι
Χόρτοις ἀμβρόσιοι κρᾶς ὂν ἀειρόμενοι.
Ως βασιλείη ὑπερφίαλος βασίλεια ἐν αὐλῇ,
Πάντων τῶν ἄλλων ἴα ὑπερμένεει.
Ως σὺ ὑπερτέλλεις πόλεων πανυπερτάτη ἄλλων
Τῇ δυνάμει, χρυσῷ, κτίσμασι καὶ κτεάνοις.
Ηὲ πρὸς ἀντολίην, ἢ πρὸς δύσιν ἄν τις ἀπέλθῃ,
Μηδὲν ἂν εὑρήσῃ λώϊον ἐμπόριον.
Παμμάκαρ ἦ πρώην ἡ κυδιόωσα Κόρινθος,
Οττι περίσσευσεν παντοδαποῖς κτεάνοις:
Πλούσιος εὔποτμος Τύρος ἄρτι ἐκέκριτο εἶναι
Πᾶσι παρ' ἀνθρώποις εἵνεκα ἐμπορίου:
Αλλὰ σὺ τριχθὰ τετραχθὰ μάκαρ βασιλήϊον ἄστυ,
Οττι σε παντοκράτωρ ἶφι ἄμυνε θεός,
Τὰς δὲ ἀριζήλους πάντεσσι παρ' ἀνδράσι πρῶτον
Πασῶν τῶν πόλεων θῆκεν ἀτιμοτάτας.
Οὐκ εἰς τὴν κραναὰν βαδιοῦμαι νῦν Κόρινθον,
Μηδὲ Τύρον πρόσθεν, φαίδιμα ἐμπόρια.
Χρήματι γὰρ σμικρῷ κτέανα ξύμπαντα πορήσω
Ενταυθοῖ, ἔσται ὅσα ἀνάγκη ἐμοί.

Εἰ καὶ οἱ Βένετοι ἕνεκ᾽ ἐμπορίου παρὰ πλείστοις
    Πάντων κρίνονται ἐμπορίης κρατέειν:
Πάντα πόρει ἵκα ὥς ὅσα χρήσιμα πρὸς βίον ἐστὶν
    Μούνη τῶν Βελγῶν εὔπορος ἥδε πόλις.
Ἑρμῆς ἐμποίρων γὰρ ἄναξ ἡ δῖά τε Δωρίς
    Πάντα ἀθροίζοντες ῥωπικὰ ἀλλοδαπά:
Ὠκυπόροις νήεσσι ἀνὰ Σκάλδιν βαθυδίνην
    Πέμπουσιν ταχέως ἐυκτιμένῃ πόλεϊ.
Ἡ δὲ πάλιν μάλα ὦκα καὶ οὐκ ἀέκοντί γε θυμῷ
    Πέμπει ἐς ἀλλοτρίην ταῦτα ἅπαντα γέην.
Κηρόθι πᾶσι χαριζομένη δειλοῖσι βροτοῖσι,
    Ἅττινα τῷ κοινῷ λυσιτελεῖ βιότῳ.
Ὅσσον μητρὶ φίλῃ κεχαρισμένος υἱὸς ὀφείλει,
    Ἧς πάρος ἐν κόλποις νήπιος ὢν δάκρυε:
Ἧς γούνων ἔπι κοιμηθεὶς γλυκὺν ὕπνον ἄγρευσε,
    Νηπιαχός τε ἐὼν ἡδὺ ἔπαιζε βρέφος:
Ἧς σφριγόωντας ὀδὰξ μαζοὺς μάλα ἥρπασε ἕλκων:
    Γλακτοφάγος τε ἐὼν λευκὸν ἄμελξε γάλα:
Πάντων ἀνθρώπων φίλον ἔθνος τόσσον ὀφείλεις
    Ὡς σῇ κεδνοτάτῃ μητέρι τῇδε πόλει,
Νύκτας ἀκοιμήτους, ἵνα σοι παραμύθια ζωῆς
    Τὸν βίοτον πορέῃ, πολλάκι κεῖται ὅλας.
Πουλὺ ἐν ὠκεανῷ πλαγχθεῖσά περ ἂψ ἐπιβήσει
    Νῆά σου εὐτυχίης, ἡσυχίης θ᾽ ἕνεκα.
Κινδύνους τε παθοῦσα πρώην, λυγροὺς ἔπι τλήσει,
    Οὐκ εἰδοῦσα πικρὸς ποῦ πόθ᾽ ἵκει θάνατος.
Πολλάκι οὐλομένη ἐλεεινῶς τήνδε θάλασσα
    Βρώσκει τοῖς ἐμπλέοις οἷς στομάτεσσιν ὑγροῖς.
Πᾶσιν σαρκοφάγοις καὶ ἑλώριον ἰχθύσι τεύχει,
    Πᾶσιν οἰωνοῖσιν κύρμα καὶ ὠμοφάγοις.

Πολλάκι

Πολλάκι εἰς ἀσεβῶν Τύρκων τε κακόξενον αἶαν
  Πνείουσιν φορέει ἀντιβίοις ἀνέμοις·
Υβριν λωποδυτῶν πεζῇ, καὶ ἄλγεα πολλά
  Ψυχοτακῆ θυμοῦ εἵνεκα σεῖο φέρει.
Εν μεγάρῳ τε φίλῳ, ἐν ἀερσιπόδεσσι καὶ ἵπποις,
  Εν χθονὶ καὶ πόντῳ μοῖραν ἔχουσ᾽ ὁμοίην.
Ωσπερ κηδομένη μήτηρ μόνη σε τιθηνεῖ,
  Τήν δὲ γυναῖκα τεὴν, νήπια τέκνα τεά.
Πάντα διὰ Σκάλδιν πεφορευμένα καλλιρέεθρον,
  Πέμπει εἰς γαῖαν ῥωπικὰ ταῦτα τεήν.
Ηὔτε ζείδωρος βοσκήματα πολλὰ ἄρουρα
  Αρνας καὶ ἵππους, αἶγα, βόας τε τρέφει:
Ως τῶν ἀλλοθρόων ἀνθρώπων ἔθνεα πολλά
  Δῖα πόλις θυμοῦ ἐκτρέφει εὐνοϊκοῦ·
Αλλά τις εἴποι ἐμοὶ τίς τοσσατίους τε κυβερνᾷ
  Λαοὺς, καὶ τόσσας μυριάδας πόλεως;
Ανδωβερπαίων ἡ βουλὴ κυδυάνειρα,
  Καὶ μεγάλῃ Ρώμῃ ταῖς ἀρεταῖς ἰκέλη.
Ην μέγας, Εσπερίου κλέος, ἐνθάδε Κάρολος ἷζε
  Πεμπτὸς Ρωμυλιδῶν ἀρχὸς ἀρηΐφιλος.
Αρχῆς Αυσονίης θαλπωρὴ ὃς οἷος ὑπῆρξε,
  Καὶ τῆς Ευρώπης ὃς μέγα ἕρκος ἔην
Ος τε γένος βαλιλεὺς πάντων βασιλεύτατος ἦεν,
  Καὶ κλέος Αυστριαδῶν κυδαλίμοιο δόμου.
Οσις ἀριστεῦσιν κρατερῶς ἅμ᾽ ἄναξι στράτευσε,
  Τήνων καὶ τείχη ἶφι ἔπερσε μόνος.
Ων ὑπεροπλίην ἄτλητον πολλάκι παῦσε,
  Πειθεὶς τῇ ἀρετῇ, ἠνορέηφι θ᾽ ἑῇ.
Εκτωρ ἱππόδαμος καὶ ὁ πτολίπορθος Αχιλλεὺς,
  Εθνεσιν ἐν ὅπλοις θαῦμα φέρεσκον ἑοῖς.

Πύρρου

Πύῤῥου, Αἰακιδῶν, Λαερτιάδαο Ὀδυσέος,
　Πάντες θάμβησαν τὴν πολέμου ἀρετήν.
Φαίδιμος ἡμέτερος δ' Ἥρως ὑπὲρ αἰθέρα γνωστὸς,
　Οὔτινος ἦ χερείων Κάρολος ὑμετέρων.
Ἀντὶ ὧν εἰπεῖν πολλοὶ δεδίασιν ἄριστοι
　Ἀνέρες αἰχμηταὶ, υἱέες ἠδ' Ἄρεος,
Ἄρχοντες, καὶ ἡγεμόνες, καὶ αἰνοτύραννοι,
　Πολλοὶ καὶ ἄλλοι βαρβαρικοὶ βασιλεῖς.
Νεύματι οὗ τραφερὴ πείθη, καὶ δῖα θάλασσα,
　Δύστομοι ὧν λαοὶ οὐκ ἀπίθουν Λίβυες.
Τῇ ζαθέᾳ Σολύμῃ ὁ ἄναξ μάλ' ἐπέπρεπε Δαβίδ,
　Ἦν ἄστρον λαμπρὸν καὶ Σολύμης Σολομῶν.
Τοὶ Καῖσαρ μεγάλην ὁ Ἰούλιος ἄρνυτο τιμήν,
　Ῥώμη πρὶν κεφαλὴ κόσμου ἀπειρεσίου.
Ἔθνεος οὗ καὶ κῦδος ἄληκτον ἀρήϊον αἷμα
　Φαιδρὸς Ἀλέξανδρος, κοίρανος ἦν τραφερῆς.
Καὶ ἡ θαυμαστὴ ἀρετὴ κατ' ἀπείρονα γαῖαν,
　Καὶ πρὸς τοὺς μακάρους Καρόλου ἦλθε θεούς.
Ὦ θεὸς ὑψιμέδων τιμὴν καὶ κῦδος ὄπαζε,
　Χειρὶ καὶ εὐτυχίης πολλὸν ἔδων ἰδίῃ.
Ὅστις Ῥωμαϊκῆς τῆς ἀρχῆς ἔξοχ' ἄριστος
　Πάντων ἦ ποιμὴν πρόσθε γενησαμένων.
Οὗτος βουλευτῶν μεγαθύμων θῆκε γερόντων
　Βουλὴν ἠγαθέην, σώφρονα, πορφυρέην.
Βουλὴν ἣ λάμπει ἀρετῆσι φαεινοτάταις ὡς
　Οὐρανὸς ἀστερόεις, ἀγλαὸς ἢ Φαέθων.
Βουλὴν Ῥωμυλιδῶν κόσμησαν κύδιμοι ἄνδρες,
　Κλεινοὶ ταῖς ἀρεταῖς, τῷ πολέμῳ, γένει:
Οἷος ἔην Κράσσος, Πομπήιος, ἠδὲ Κάτωνες,
　Φαίδιμοι οἱ Φάβιοι, οἵ δέ κε Σκιπιάδαι.
Αὕτη καὶ βουλὴ χρυσείους ἱππέας ἴσχει,

Εἰ φωνῇ Δαναῶν ὡς θέμις ἐςὶ καλεῖν.
Ανδρας ὑπερθύμους καὶ ἀρήια ςήθεα, λαμπρῆς
Κάλλεα τῆς βουλῆς, κάλλεα τῆς πόλεως.
Εν βουλαῖς μεγάλους, κοσμήτορας ἠδὲ ἀρίςους
Λαῶν, εἰρήνης ἠγαθέης τε φίλους.
Ερκεα ἐν πολέμοις, καὶ Οδυσσέος ἀγκυλομήτου
Μήτει καὶ θυμῷ οὔτι χερειοτέρους.
Μηδὲ ἀφαυροτέρους τοῦ τειχολέτου Αχιλῆος
Τυτθὸν τῷ κάρτει, ἢ κρατερᾷ κραδίᾳ.
Οὗτοι ἐν εἰρήνῃ βουλῆς καὶ ἄστεος εἰσί
Παμφανόωντα φάη, ἕρκεα τ᾽ ἐν πολέμοις.
Εἶτα δὲ ἐνδόξους ἴσχει καὶ ἀνέρας ἄλλους,
Ον γένος ἐκ κλεινῶν δεξαμένους τοκέων.
Ανέρας εὐγενέας, περικαλλεῖς, ἠδ᾽ ἐπισήμους
Ολβῳ καὶ ἀρετῇ, ἠδὲ σαοφροσύνῃ.
Οἳ ὄλβῳ Κράσσον, θυμῷ, ἀρετῇ τε Κάτωνας,
Σώφρονα νικῶσιν Παλλάδα τῇ σοφίῃ.
Οἳ ἐν ἀνακτόρεοις λαμπρῶς θώκοισι κάθηνται,
Τὴν δὲ δίκην καθαρῶς πᾶσι νέμουσι βροτοῖς.
Τοὺς νομικούς τε ἔχει περιφάντους ἀνέρας ἄλλους,
Μείλιχα μουσάων ἄνθεα Πιερίδων.
Οἵτινες ἴσασιν τοῦ Παπινιανοῦ ἀρίςου,
Βαρτόλου, ἠδ᾽ ἄλλων βιβλία τῶν νομικῶν.
Οἳ πάλαι εὐγενέες, καὶ δοῦλοι ἄρτι ὑπῆρξαν,
Εν τῇ φερτίςῃ Ρωμυλέῃ πόλεϊ,
Οττ᾽ ἀπελευθερίῃ τε, ῥαπίσμασι τ᾽ ἄρτι γένοντο,
Θρησκειαῖς τ᾽ ἄλλαις οἱ ἀπελευθέριοι.
Καὶ τί πατὴρ, υἱός τε δόμου, καὶ ὀρφανὰ τέκνα,
Τῶν τε προεςῶτες καὶ πάλι κηδεμόνες.
Καὶ ποτ᾽ ἐλευθέριος παῖς αὐτεξούσιός ἐςιν,
Η ποτ᾽ ἀπαλλαχθῇ κηδεμόνων φυλακῆς.

Ητί

Η τί θέλημα βροτῶν διαφαινόντων διαθήκας
Υ ςατον ἰχύῃ, ἐν νομίμῳ δικαίῳ.
Ο ςις θνησκόντοιν παιδὸς καὶ μητέρος ἀμφοῖν,
Τέκνων ἐκ ὄντων κτήματα τῶν δὲ λάβῃ.
Η τί βεβαιώσῃ συνθήκας τῶν δὲ ταμόντων,
Ηὲ τί δηλήσῃ ὅρκια πιςὰ πάλιν.
Μνημονικῶς τε νόμους εἴδουσιν πάντας ἐνόντας
Εν βίβλοις απεράδιω ἀαπέτῳ ὡς πελάγει.
Ην διὰ ἰδμοσύνῃ συμφράδμονες ἀνέρες ἄλλοι,
Τ ῶν βουλαῖς χρῶνται ὄμμασιν ὡς ἰδίοις.
Β ελγίου ἐκ παντὸς πρὸς τοὺς φεύγουσιν ἔχοντες
Εἰν ἀγορᾷ ἐχθροῖς νείκεα σὺν σφετέροις.
Β ουλὴν βουλεῦσαι ἀντήδιω τῶν τε δέονται,
Η δὲ ἀλεξέμεναι χερσὶν ἔπεσιν ὁμοῦ.
Α ντ᾽ εὐεργεσίης ταύτης δὲ πρόφρονι θυμῷ,
Μυρία ἀνδράσι τοῖς δῶρα δίδουσι πάλιν.
Ο ὐκ ἄλλως αἰδεσθέντες τιμῆσιν ἀρίςαις
Τ ούτους ἅζονται ἄνδρας ἀριπρεπέας:
Η ὡς μαντείας Λύκιοι Φοίβοιο ἔπισαν,
Η Δωδωναίου τοῦ Διὸς ἄρτι νεών.
Μήτ᾽ ἀδίκως, ἐπειὴ παιδείας ἥττω ἅπαντα,
Ο ὔτις καὶ τιμὴ εὑρέμεν ἐςὶν ἴση.
Ναὶ ὅτε τοὺς νομικοὺς πολυΐδμονας ἄνδρας ἐσεῖδον,
Δ ῶρά τε μουσάων ἤτορα βοσκόμενα:
Α ὐτίχ᾽ ὑπομνήσας εὐπαιδεύτοιο Πλάτωνος,
Ο ς τότ᾽ ἔσεσθαι ἔφη τὰς πόλιας μάκαρας:
Η νίκα ἄρχοντες καὶ ἄνακτες φιλοσοφῶσιν,
Η λάσι ἄρχωσι ςήθεα φιλοσόφων:
Θ υμὸν τερπόμενος πόλι εἶπα τρισόλβιός ἐοσι
Θ έσκελοι ἄρχουσιν τοῖοι ἐπεὶ ἀνέρες.
Ο ἷς πολιοκρόταφοι κλυτομήτιες ἀνέρες ἄλλοι

Εν βουλαῖς εἰσὶν πιστοὶ ἑταῖροι ἀεί.
Εὖ καὶ ἐπισταμένως ἐν πᾶσι δαήμονες ἔργοις,
Καὶ σάφα συμπασῶν εἰδότες ἱστοριῶν.
Φέγγεα Πιερίδων, γενεῆς καὶ κάλλεα κλεινῆς,
Ερματα τῆς βουλῆς, ἕρματα τῆς πόλεως.
Νέστορος εὐεπίην εὐρυκρείων Αγαμέμνων
Θαύμασε τὴν λιγυρὴν, ἠδὲ τὸ κῆρ λάσιον:
Καὶ οἱ Κεκροπίδαι λιγύφωνοι πρόσθ' ἀγάσαντο
Τοῦ Δημοσθενέως τὰ γλυκέα στόματα:
Εν στόμασιν χάριτες τούτων ἕζουσιν ἅπασαι,
Παλλὰς καὶ Πειθὼ, Καλλιόπη τε, Θέμις.
Ω πόλι φαιδροτάτη, μοιρηγενὲς, ὀλβιόδαιμον
Πληξίππων Βελγῶν χαῖρέ νυ γηθόσυνε.
Καὶ ταύτης βουλῆς μεγάλου ἀγαθοῦ ἀπόλαυσον,
Μνημοσύνοιο φίλου Καρόλου ἠδὲ τεοῦ.
Ος ταύτην φιλίης ὥσπερ μνημήιον ἱρὸν
Πρός σε ἑῆς πατρίης ἐγγυάλιξε τεΐν.
Ην εὐρυκρείων Βασιλεὺς κρατερῶς ὁ Φίλιππος,
Πάτριον ὡς κλῆρόν σοι ἐφύλαξε τέως.
Οφρα ἀγαλλομένη σὺν τέκνοις σοῖσι σὺ χαίρης,
Ιρὴν εἰρήνην ἡσυχίην τε ἔχης.
Ανδρες βουλευταὶ ὑμεῖς εὐδαίμονες ἐστέ,
Εἵνεκα τοῦ σκήπτρου τοσσατίης πόλεως.
Αλκιμοι εἰ Φάβιοι κλέος ἠδὲ Κάμιλλοι ἄροντο,
Πατρίδα τοῖς ὅπλοις ὅττι σάωσαν ἑήν:
Τρὶς τόση ἕψεθ' ὑμῖν φήμη Ηρωες ἀγαυοί,
Σωζόντων βουλαῖς πατρίδα ὑμετέραν.
Πατρίδα ἣν μεγάλης Ρώμης προβέβουλα, κρατίστης
Ηδὲ ἐριθενέων τῶν Βενέτων πόλεως.
Πασῶν γὰρ κρατέει πόλεων μέγα ἔξοχα ἄλλων,
Κτίσμασι καὶ ὄλβῳ, κάρτεϊ καὶ δυνάμει:

Τῇδε

Τῇδε ξεινοσύνῃ, ἧς εἵνεκα πολλὸν ἄριστον
  Ἄστυ τόδ᾽ αἰνεῖται ἀνδράσ᾽ ἐπ᾽ ἀλλοθρόοις.
Ξείνους σύμπαντας τὰ προσηνέα μυρία ἔρδει,
  Ἐν κόλπῳ γλυκερῷ εὐμενέως τε τρέφει.
Κηρόθι τοῖς πλείστας προνομίας ἐγγυαλίζει,
  Πιστοὺς ὄφρα ἑῇ σώσῃ ἀεὶ ἑτάρους.
Μήτ᾽ ἀφρόνως, ἐπειὴ πόλεως οὐκ εἰσὶ τοιαύτης
  Χώματα καὶ ἕρκη φρούρια, ἀλλὰ φίλοι.
Τοὔνεκ᾽ εὐεργεσίῃς ταῖς πλείσταις τοὺς περιποιεῖ,
  Ἐκ πιστῶν ἑτάρων πιστοτάτους τε ποιεῖ.
Δώματα προῖκα πόρει βασιλῆϊ ἐοικότα ἀνδρί,
  Καὶ Διὸς οὐλύμπου δώματα σεμνότερα.
Πάντων τῶν τελέων ἀτέλειαν τοῖς δὲ ὑπάρχει,
  Ἢ δὲ βιώσασθαι τοὺς ἑᾷ αὐτονόμους.
Νόσφι φόρου καρποῦσθαι ἑᾷ καρποῖσι Λυαίου:
  Καὶ δώροις γλυκεροῖς καρποτόκου Ἀμαίας:
Τετράπυλόν τε ἅλων ἄστει ἐν μέσσῳ ἔδωκε,
  Μακροτάτῃσι στοαῖς καλὰ γεραιρόμενον
Ἣν Πολυκλειταῖος πόνος οὐχὶ δύναιτ᾽ ἂν ἐλέγχειν,
  Οὐ χεὶρ Φιδιακὴ πότνια δαιδαλέη.
Βάρβαρα πυραμίδων σιγείτω θαύματα Μέμφις,
  Μὴ Βαβυλῶνα τόσον Βούσυρις αἰνεέτω:
Μὴ τόσην αἰνείτω Βύζας ἀδαμάντινα τείχη,
  Μὴ φθεγξάσθω ἄγαν Ῥώμυλος ἄστυ ἑόν.
Καῖσαρ ἀρηΐφιλος μὴ τόσσον νῦν ἀγασάσθω
  Κάλλεα τοῦ Κίρκου, Ἀμφιθέατρον ἑόν.
Αὕτη ἅλως νικᾷ σύμπαντα τὰ θαύματα γαίης,
  Ἣ ἀπὸ τοῦ μέσσου τοὔνομ᾽ Ἰάνου ἔχει.
Γηϊδίως δέχεται ἔθνη καὶ φῦλα ἅπαντα
  Ἅττ᾽ Εὐρώπη ἔχει, ἡ Ἀσίη, Λιβύη.
Ἥτις ὑπ᾽ ἠελίῳ τραφερὴ ὡς βαρβάρη ἐστί,

Εξ ἧς οὐχ ἥκει εἷς βροτὸς ἢ ἕτερος;
Ηκει ἀπὸ χλοεροῦ ἀνὴρ Ροδοπήιος Αιμου,
Ηκει Σαυρομάτης ξοῦθος ἰδ᾽ ὠκυπέτης.
Θρᾶκες σπεύδουσιν καὶ οἱ πολυδίψιοι Ινδοί,
Κλεινοὶ οὐλοτάταις Αιθίοπες τρίχεσι.
Ηκουσιν τ᾽ Αραβες, λιβανώδης ἠδὲ Σαβαιοί,
Εσχατοι Αντίποδες, Βαρβαρικοί τε Σκύθαι,
Ενθα πολύχρυσοι οἱ Ιβηρες νηῦσι πλέουσιν,
Ηδὲ παλαιότατοι Αυσόνιοι Κρόνιοι.
Ευρρίζωνὴς ταχέως δρομέει Αγγλος θεοειδής,
Τόξων εὖ ἐιδὼς εἰροκόμος τε ἀνήρ.
Πιστοὶ Γερμανοὶ, ῥηξήνορες, ἄνδρες ἄριστοι,
Κελτοὶ ἱππόδαμοι παντοδαποί τε βροτοί.
Τοὺς πάντας ποτὶ τήνδε ἄλων καὶ ἀνέρας ἄλλους
Δέρκεαι ἐλθόντας διοσακ᾽ ἐφημερίους.
Τοὺς μὲν τῇ καθομιλοῦντας τῇ τοὺς δὲ ἰόντας,
Κοινολογησαμένους ὧν περὶ ἐμποριῶν.
Χῶρον τοῦτον ἁβρὸν καὶ μυρία ἄλλα ὀπάζει
Τοῖς ξείνοις δήμοις ἥδε πόλις ζαθέα:
Εἰς τὸ μνημόσυνον συνεχὲς τοῦ ἑοῖο ἔρωτος
Πρὸς ξείνους δήμους, χριστιανούς τε βροτούς.
Αλλους κερτομίοις λωβεύει οὐκ ἐπέεσσι,
Ως ἐιώθασιν βάρβαρα πλεῖστα ἔθνη.
Εν στήθεσσι φιλεῖ ξείνους σύμπαντας ὁμόιως,
Κελτοὺς ὡς Αγγλους, Τεύτονας ὡς Ιταλούς.
Τοὔνεκα ἐυδοκιμεῖ παρὰ ἀνδράσι πᾶσι μάλιστα,
Εἵνεκα ξεινοσύνης, εἵνεκα εὐμηνείας.
Ω κῦδος Βελγῶν, Ευρώπης μείλιχον ἄνθος,
Πότνια ὦ θύγατερ Σκάλδιδος ἀτρυγέτου.
Χαλκὸν, καὶ χρυσὸν, καὶ ἄργυρον, ἠδ᾽ ἀδάμαντα,
Αλλα θ᾽ ὑπ᾽ ἠελίῳ φθείρει ἅπαντα χρόνος.

Αλλα

Αλλὰ τεὴ ἀρετὴ θείη ἄσβεστος ὑπάρξει,
Αφθορον ἠδὲ τεὸν τοὔνομα, ἠδὲ κλέος.
Εὖτ' ἂν ὕδωρ ῥεύσῃ, καὶ καρποὺς δένδρα φέρωσι,
Καὶ τοὺς εἰς ἕλκῃ ἄνδρας ἐπιχθονίους:
Η πολυδειρὰς ἕως παμφεγγέα ἄστρα ὄλυμπος
Τρέψει, καὶ φαιδρὸς λάμψεται ἥλιος:
Σοῦ κῦδος τ' ἀρετήν τε καλὴν πᾶς ᾄσεται αἰὼν,
Εθνεα Χριστιανῶν, ἔθνεα Βαρβαρικῶν.
Πρὶν τανυσίπτεροι ὄρνιθες λείψουσιν ἑκόντες
Πύργους αἰπεινοὺς, χορτοκοπεῖα βόες:
Ναῦται, ἔμποιροι πουλύφλοισβόν τε θάλασσαν,
Ιχθῦς καὶ πάντες νήματα παντοδαπά:
Καὶ ἔλαφος κεραὸς καλίρρουν φεύξεται ὕδωρ,
Καὶ πλεῖστα ζώων ἄντρα ὑποχθονίων:
Η ἐποχήσουσίν σου ἄσπετα κύδεα κλείειν
Πάντα ἀπειρεσίης ἔθνεα τῆς γραφερῆς.
Ω φίλοι Ηρωες, συγκλήτου ἠδὲ μέδοντες,
Πῶς πρέπον ὑμνήσω τὴν πόλιν ὑμετέραν;
Κάλλεα τῆς πόλεως φράζω κατὰ θεῖον Ομηρον,
Μήτε δυνησαίμην ἐξονομῆναι ἐγώ:
Οὐδ' εἴ μοι δέκα μὲν γλῶτται, δέκα δὲ στόματ' ἦεν
Φωνὴ δ' ἄρρηκτος, χάλκεος ἠδὲ νόος.
Πολλά σε μὲν πολυθρύλλητος φάτις ἤνεσεν ἄστυ,
Πολλὰ ἐκήρυξαν παντοδαπῶν στόματα.
Πλείονα δ' εὑρίσκω ἤ μοι ἡ φήμη ὑπέστη
Αστατος, ἠδ' ἔθνη ἀκριτόμυθα βροτῶν.
Ρᾶον ἐν ἡελίῳ σμικροὺς ἀτόμους ἀριθμήσεις,
Καὶ τοὺς νηρίθμους ὠκεανοῦ ψαμάθους:
Η μόνον ἐν παρόδῳ ὀνομῆνας ἐξαγορεύσῃς
Κάλλεα τῆς πόλεως, τὰ κλέα τῆς πόλεως.
Ταῦτ' ἄρα πιστεύεις; ναὶ ἐπιτυμίης τὰ δὲ ἥττω,

Εἰ

Εἰ ἀπορεῖς τυφλῶ ὅσσε ὦ ἄνερ ἔχεις.
Ἀλλὰ ἐμοὶ θρασέως πίστευε τὰ δ᾽ εἰσορόωντι,
Ὄμματα τῆς ἀκοῆς ἀξιοπιστότερα.
Ἔρχεο Μαιονίδη, τί σιδήρεον ὕπνον ἰαύεις;
Καὶ πάλιν ἄμπνευσον νήδυμε Βεργίλιε.
Τί στοναχεῖτε ἀεὶ Τροίην καὶ Ἑλλάδα κλεινὴν
Ὀλλυμένην, σκληρὸν καὶ πόνον ὑμέτερον;
Ἐνθάδε ἐκ κόνιος Τροίης καὶ Ἑλλάδος ἄλλη
Ἔρχετ᾽ ἀπειρεσίης κόσμου ἄνασσα πόλις.
Ἤ τις ἀπ᾽ αὐτομάτης ὑμῖν ἔνδοξον ὀπάζει
Ὕλην, ἀξίαν ὑμετέρας φύσεως.
Ἤ τις ὑπισχνεῖται περικαλλέα μυρία δῶρα,
Εὐφυέως καμάτου ἄξια ὑμετέρου.
Ἄνστατε εὐαγγελίην ταύτην ἐν χειρὶ τιθεῖσαν
Τηρεῖτε κρατερῶς τῷ νόῳ εὐνοϊκῷ.
Γράμματα μὲν τάδε παῦρ᾽ αὐτοσχεδίας ἔγραψα
Ἀλλ᾽ οὐ τοιαύτης ἄξια τῆς πόλεως.
Οὔπω γὰρ πίον οἵ σε ἔθρεψαν δῖον Ὅμηρον
Μαζοὺς Καλλιόπης, οὔς τε Μάρων ἔπιε.
Πολλάκι ἀλλὰ θεοῖς τὰ ἀμαυρά γε δῶρα ἀρέσκει,
Ὡς τῶν ἀγρονόμων αἴξ, τύρος, ἠδὲ γάλα.
Τοὔνεκ᾽ ἐμὴ σπουδὴ ἀρέσει βουληφόροι ἄνδρες
Ὕμμιν ἕως δώσω τῶν ποτε λώιονα.
Αὐξέτω ὑμέτερον Σκάλδιν τὸ μεταξὺ Ποσειδῶν
Ζεύς τε πόλιν πόλεως τηρεέτω τε γόνον.

Errata hæc sunt, φέροντας pro φέροντε, ἀγγέλοντα pro ἀγγέλλοντε, εἰξάτε pro εἶξον θ᾽, καπιτώλιον δῖα pro ἱρά. βαλιλεύς pro βασιλεύς.

3[illegible]